## 210 Sono verosimili i dettagli che riguardano luogo e tempo del delitto? ΔΔ

Istituzioni

*Se si passa a considerare il luogo e il tempo in cui sarebbe avvenuto il crimine, nulla quadra: il podere in questione è sotto gli occhi di tutti e in altre proprietà più defilate l'imputato non ha mai commesso alcunchè di simile. E se proprio voleva delinquere, perché aspettare il ritorno dell'ordine e non agire piuttosto sotto i Trenta Tiranni?*

*Pronomi – aoristo – participio – infinito – oggettive – relative – ipotetiche – interrogative – valori di ὡς e di ἄν*

**Lisia** Ἐπίστασθε γὰρ ἐν τῷ πεδίῳ πολλὰς μορίας οὔσας καὶ πυρκαϊὰς ἐν τοῖς ἄλλοις τοῖς ἐμοῖς χωρίοις, ἅς, εἴπερ ἐπεθύμουν, πολὺ ἦν ἀσφαλέστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι καὶ ἐπεργάσασθαι, ὅσῳπερ ἧττον τὸ ἀδίκημα πολλῶν οὐσῶν ἔμελλε δῆλον ἔσεσθαι. Νῦν δ' οὕτως αὐτὰς περὶ πολλοῦ ποιοῦμαι ὥσπερ καὶ τὴν πατρίδα καὶ τὴν ἄλλην οὐσίαν. Αὐτοὺς τοίνυν ὑμᾶς τούτων μάρτυρας παρέξομαι, ἐπιμελουμένους μὲν ἑκάστου μηνός, ἐπιγνώμονας δὲ πέμποντας καθ' ἕκαστον ἐνιαυτόν· ὧν οὐδεὶς πώποτ' ἐζημίωσέ μ' ὡς ἐργαζόμενον τὰ περὶ τὰς μορίας χωρία. Πότερον δέ με κρεῖττον ἦν, ὦ βουλή, δημοκρατίας οὔσης παρανομεῖν ἢ ἐπὶ τῶν τριάκοντα; Καὶ οὐ λέγω ὡς τότε δυνάμενος ἢ ὡς νῦν διαβεβλημένος, ἀλλὰ τῷ βουλομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν ἢ νυνί. Ἐγὼ τοίνυν οὐδ'ἐν ἐκείνῳ τῷ χρόνῳ οὔτε τοιοῦτον οὔτε ἄλλο οὐδὲν κακὸν ποιήσας φανήσομαι. Πῶς δ' ἄν, εἰ μὴ πάντων ἀνθρώπων ἐμαυτῷ κακονούστατος ἦν, ὑμῶν οὕτως ἐπιμελουμένων ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἕν ἐστι, μιᾶς δὲ ἐλάας σηκός, ὡς οὗτός φησιν, ἦν, κυκλόθεν δὲ ὁδὸς περιέχει, ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν, ἄερκτον δὲ καὶ πανταχόθεν κάτοπτόν ἐστιν; Ὥστε τίς ἂν ἀπετόλμησε, τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ πράγματι;

## QUESTIONARIO

**Per la comprensione e l'approfondimento del testo**

I. Perché neppure il luogo dove sarebbe avvenuto il fatto è una verosimile scena del crimine?

II. Perché altri luoghi sarebbero stati più adatti al fatto? Che cosa ci dice questo dell'imputato?

III. Quali testimoni invoca per dimostrare il suo rispetto delle piante sacre? Che effetto ha questa mossa?

IV. In che senso sarebbe stato meglio agire sotto il governo dei Trenta?
V. Ci sono elementi di *captatio benevolentiae* in questo passo? Quale altro espediente retorico è frequente in queste righe? Che effetto hanno?

Per l'analisi morfosintattica del testo
1. ἅς: a quale proposizione appartiene?
2. ὧν οὐδείς: che cosa osservi a proposito dell'uso del relativo?
3. Πότερον δέ μοι κρεῖττον ἦν: che proposizione è?
4. Πῶς δ' ἄν, εἰ μὴ πάντων...: quale valore di ἄν riconosci?
5. ὡς οὗτός φησιν: che valore ha qui ὡς?

## 211 È verosimile che un cittadino modello si comporti come sostiene l'accusa? Δ

Istituzioni

*Anche considerando il ruolo politico (cioè le modalità di partecipazione alla vita della* polis*) dell'accusato, non è credibile che egli abbia commesso una simile nefandezza: lui che ha sempre fatto più di quanto gli era richiesto!*

*Pronomi – comparazione – aoristo – perfetto – participio – infinito – oggettive – relative – valori di ὡς e di ἄν*

**LISIA** Ἐγὼ τοίνυν δέομαι ὑμῶν μὴ τοὺς τοιούτους λόγους πιστοτέρους ἡγήσασθαι τῶν ἔργων, μηδέ, περὶ ὧν αὐτοὶ σύνιστε, τὰ τοιαῦτ' ἀνασχέσθαι τῶν ἐμῶν ἐχθρῶν λεγόντων, ἐνθυμουμένους καὶ ἐκ τῶν εἰρημένων καὶ ἐκ τῆς ἄλλης πολιτείας. Ἐγὼ γὰρ τὰ ἐμοὶ προστεταγμένα ἅπαντα προθυμότερον πεποίηκα, ἢ ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην, καὶ τριηραρχῶν καὶ εἰσφορὰς εἰσφέρων καὶ χορηγῶν καὶ τἆλλα λητουργῶν οὐδενὸς ἧττον πολυτελῶς τῶν πολιτῶν. Καίτοι ταῦτα μὲν μετρίως ποιῶν ἀλλὰ μὴ προθύμως οὔτ' ἂν περὶ φυγῆς οὔτ' ἂν περὶ τῆς ἄλλης οὐσίας ἠγωνιζόμην, πλείω δ' ἂν ἐκεκτήμην, οὐδὲν ἀδικῶν οὐδ' ἐπικίνδυνον ἐμαυτῷ καταστήσας τὸν βίον· ταῦτα δὲ πράξας, ἃ οὗτός μου κατηγορεῖ, ἐκέρδαινον μὲν οὐδέν, ἐμαυτὸν δ' εἰς κίνδυνον καθίστην. Καίτοι πάντες ἂν ὁμολογήσαιτε δικαιότερον εἶναι τοῖς μεγάλοις χρῆσθαι τεκμηρίοις περὶ τῶν μεγάλων, καὶ πιστότερα ἡγεῖσθαι περὶ ὧν ἅπασα ἡ πόλις μαρτυρεῖ, μᾶλλον ἢ περὶ ὧν μόνος οὗτος κατηγορεῖ.

### QUESTIONARIO

Per la comprensione e l'approfondimento del testo
I. Quale preghiera avanza l'imputato ai giudici? In quale punto del brano?
II. Quali meriti vanta nei confronti della città? Perché li elenca?
III. Che cosa sono le *liturgie* di cui si parla nel testo? Che cosa vuol dire oggi la parola?
IV. Osserva la posizione di ἅπασα e μόνος: che cosa puoi dire?
V. Ritieni che l'argomentazione sfoderata in questo passo sia giusta ed efficace?

Per l'analisi morfosintattica del testo
1. περὶ ὧν αὐτοί...: che cosa noti a proposito dell'uso del relativo?
2. προστεταγμένα: analizza morfologicamente e sintatticamente il participio.
3. προθυμότερον: che parte del discorso è?
4. οὔτ' ἂν... ἠγωνιζόμην: che valore ha qui ἄν?
5. ἐμαυτόν: che parte del discorso è?

## 212 Πίστις 2 della πρόκλησις. Perché Nicomaco ha rifiutato la proposta di interrogare sotto tortura i miei servi? ΔΔΔ

Istituzioni

*Nel diritto attico la πρόκλησις era una sfida formale di una parte all'avversario pe dimostrare le proprie ragioni. L'imputato ha offerto di far interrogare i suoi servi sott tortura – e si sa che cosa può fare un servo per danneggiare il padrone – ma Nicomac ha rifiutato. Perché? Forse ha consapevolezza della propria malafede?*

Pronomi – aoristo – perfetto – participio – infinito – oggettive – relative – temporali – ipotetiche – valori di ἄν

**Lisia** Ἔτι τοίνυν, ὦ βουλή, ἐκ τῶν ἄλλων σκέψασθε. Μάρτυρας γὰρ ἔχων αὐτο προσῆλθον, λέγων ὅτι μοι πάντες ἔτι εἰσὶν οἱ θεράποντες, οὓς ἐκεκτήμην ἐπειδὴ παρέλαβον τὸ χωρίον, καὶ ἕτοιμός εἰμι, εἴ τινα βούλοιτο, παραδοῦναι βασανίζειν, ἡγούμενος οὕτως ἂν τὸν ἔλεγχον ἰσχυρότερον γενέσθαι τῶν τούτου λόγων καὶ τῶν ἔργων τῶν ἐμῶν. Οὗτος δ' οὐκ ἤθελεν, οὐδὲν φάσκων πιστὸν εἶναι τοῖς θεράπουσιν. Ἐμοὶ δὲ δοκεῖ θαυμαστὸν εἶναι, εἰ περὶ αὑτῶν μὲν οἱ βασανιζόμενοι κατηγοροῦσιν, εὖ εἰδότες ὅτι ἀποθανοῦνται, περὶ δὲ τῶν δεσποτῶν, οἷς πεφύκασι κακονούστατοι, μᾶλλον ἂν ἕλοιντο ἀνέχεσθαι βασανιζόμενοι ἢ κατειπόντες ἀπηλλάχθαι τῶν παρόντων κακῶν. Καὶ μὲν δή, ὦ βουλή, φανερὸν εἶναι πᾶσιν ἡγοῦμαι ὅτι, εἰ Νικομάχου ἐξαιτοῦντος τοὺς ἀνθρώπους μὴ παρεδίδουν, ἐδόκουν ἂν ἐμαυτῷ συνειδέναι· ἐπειδὴ τοίνυν ἐμοῦ παραδιδόντος οὗτος παραλαβεῖν οὐκ ἤθελε, δίκαιον καὶ περὶ τούτου τὴν αὐτὴν γνώμην σχεῖν, ἄλλως τε καὶ τοῦ κινδύνου οὐκ ἴσου ἀμφοτέροις ὄντος.

### QUESTIONARIO

**Per la comprensione e l'approfondimento del testo**

I. Perché l'imputato offre di far interrogare i servi?
II. Perché Nicomaco rifiuta?
III. Perché l'imputato ritiene θαυμαστόν questa giustificazione?
IV. Quale ragionamento scaturisce da questa circostanza?
V. Quale immagine del rapporto padrone-servi emerge in questo brano? Quali diritti avevano gli schiavi?

**Per l'analisi morfosintattica del testo**

1. μοι πάντες: che funzione logica svolge il dativo?
2. εἴ τινα βούλοιτο: che proposizione è? Da quale dipende?
3. πεφύκασι: analizza morfologicamente e sintatticamente il verbo.
4. ἂν ἕλοιντο: che valore ha qui ἄν?
5. ἐξαιτοῦντος: analizza il participio.

## 213 Per conto di chi agisce Nicomaco? ΔΔΔ

Istituzioni

*La corte deve riflettere sull'operato di Nicomaco e sulla condotta specchiata dell'imputato, per rendersi conto che l'accusatore è solo una pedina nelle mani di più potenti nemici, nascosti nell'ombra. Che cosa sperava di ottenere personalmente? Che l'accusato si lasciasse corrompere per evitare noie processuali.*

*Pronomi – aoristo – perfetto – participio – infinito – oggettive – relative – causali – interrogative – valori di ὡς e di ἄν*

**LISIA** Ἐνθυμεῖσθαι δὲ χρή, ὦ βουλή, ποτέροις χρὴ πιστεύειν μᾶλλον, οἷς πολλοὶ μεμαρτυρήκασιν ἢ ᾧ μηδεὶς τετόλμηκε, καὶ πότερον εἰκὸς μᾶλλον τοῦτον ἀκινδύνως ψεύδεσθαι ἢ μετὰ τοσούτου κινδύνου τοιοῦτον ἐμὲ ἔργον ἐργάσασθαι, καὶ πότερον οἴεσθε αὐτὸν ὑπὲρ τῆς πόλεως βοηθεῖν ἢ συκοφαντοῦντα αἰτιάσασθαι; Ἐγὼ μὲν γὰρ ἐγνωκέναι ὑμᾶς ἡγοῦμαι ὅτι Νικόμαχος ὑπὸ τῶν ἐχθρῶν πεισθεὶς τῶν ἐμῶν τοῦτον τὸν ἀγῶνα ἀγωνίζεται, οὐχ ὡς ἀδικοῦντα ἐλπίζων ἀποδείξειν, ἀλλ' ὡς ἀργύριον παρ' ἐμοῦ λήψεσθαι προσδοκῶν. Ὅσῳ γὰρ οἱ τοιοῦτοί εἰσιν ἐπαιτιώτατοι καὶ ἀπορώτατοι τῶν κινδύνων, τοσούτῳ πάντες αὐτοὺς φεύγουσι μάλιστα. Ἐγὼ δέ, ὦ βουλή, οὐκ ἠξίουν, ἀλλ' ἐπειδήπερ με ᾐτιάσατο, παρέσχον ἐμαυτὸν ὅ τι βούλεσθε χρῆσθαι, καὶ τούτου ἕνεκα τοῦ κινδύνου οὐδενὶ ἐγὼ τῶν ἐχθρῶν διηλλάγην, οἳ ἐμὲ ἥδιον κακῶς λέγουσιν ἢ σφᾶς αὐτοὺς ἐπαινοῦσι, καὶ φανερῶς μὲν οὐδεὶς πώποτε ἐμὲ αὐτῶν ἐπεχείρησε ποιῆσαι κακὸν οὐδέν, τοιούτους δὲ ἐπιπέμπουσί μοι, οἷς ὑμεῖς οὐκ ἂν δικαίως πιστεύοιτε.

## QUESTIONARIO

**Per la comprensione e l'approfondimento del testo**

I. Quali questioni devono porsi i giudici per valutare la situazione? A tali quesiti l'imputato risponde?
II. Perché Nicomaco ha intentato il processo in realtà?
III. Come parla l'imputato dei suoi nemici? Chi potrebbero essere secondo te?
IV. Individua la struttura logica del passo, riassumendone i passaggi fondamentali.
V. Commenta stilisticamente il brano.

**Per l'analisi morfosintattica del testo**

1. χρὴ πιστεύειν: di quale proposizione è predicato?
2. ὅτι: che proposizione introduce?
3. Ὅσῳ: analizza morfologicamente il termine.
4. τοῦ κινδύνου: che funzione logica esprime questo genitivo?
5. ἂν δικαίως πιστεύοιτε: che valore ha qui ἄν?

## 214 Ἐπίλογος. Salvate uno specchiato cittadino, un figlio di famiglia da un'ingiusta condanna! ΔΔ

personaggi *Nella perorazione finale, l'imputato ricorre discretamente anche all'elemento patetico, cercando di suscitare la compassione dei giudici. Ma è soprattutto una questione di giustizia, di fronte a fatti così evidenti!*

*Pronomi – aoristo – perfetto – participio – infinito – oggettive – relative – valori di ὡς*

**LISIA** Πάντων γὰρ ἀθλιώτατος ἂν γενοίμην, εἰ φυγὰς ἀδίκως καταστήσομαι, ἄπαις μὲν ὢν καὶ μόνος, ἐρήμου δὲ τοῦ οἴκου γενομένου, μητρὸς δὲ πάντων ἐνδεοῦς οὔσης, πατρίδος δὲ τοιαύτης ἐπ' αἰσχίσταις στερηθεὶς αἰτίαις, πολλὰς μὲν ναυμαχίας ὑπὲρ αὐτῆς νεναυμαχηκώς, πολλὰς δὲ μάχας μεμαχημένος, κόσμιον δ' ἐμαυτὸν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλι-

γαρχίᾳ παρασχών. Ἀλλὰ γάρ, ὦ βουλή, ταῦτα μὲν ἐνθάδε οὐκ οἶδ' ὅ τι δεῖ λέγειν· ἀπέδειξα δ' ὑμῖν ὡς οὐκ ἐνῆν σηκὸς ἐν τῷ χωρίῳ, καὶ μάρτυρας παρεσχόμην καὶ τεκμήρια. Ἅ χρὴ μεμνημένους διαγιγνώσκειν περὶ τοῦ πράγματος, καὶ ἀξιοῦν παρὰ τούτου πυθέσθαι ὅτου ἕνεκα, ἐξὸν ἐπ' αὐτοφώρῳ ἐλέγξαι, τοσούτῳ χρόνῳ ὕστερον εἰς τοσοῦτόν με κατέστησεν ἀγῶνα, καὶ μάρτυρα οὐδένα παρασχόμενος ἐκ τῶν λόγων ζητεῖ πιστὸς γενέσθαι, ἐξὸν αὐτοῖς τοῖς ἔργοις ἀδικοῦντα ἀποδεῖξαι, καὶ ἐμοῦ ἅπαντας διδόντος τοὺς θεράποντας, οὕς φησι παραγενέσθαι, παραλαβεῖν οὐκ ἤθελεν.

## QUESTIONARIO

**Per la comprensione e l'approfondimento del testo**

I. Quali informazioni personali dell'imputato conosciamo?
II. Su quale elemento patetico cerca di far leva? Qual è, inoltre, il punto debole dell'accusa?
III. Quali altri meriti nei confronti della patria ha l'imputato?
IV. Quale elemento cronologico offre il passo? A che cosa ci può servire?
V. Commenta stilisticamente il brano.

**Per l'analisi morfosintattica del testo**

1. ἂν γενοίμην: che valore ha qui ἄν?
2. νεναυμαχηκώς: analizza morfologicamente e sintatticamente il participio.
3. ὅ τι δεῖ λέγειν: che tipo di proposizione è?
4. Ἅ χρή: osserva l'uso del pronome.
5. ἐξόν: analizza morfologicamente e sintatticamente il termine.